# TEZAUR LITURGIC

## 19 IANUARIE
## CALIST ZOGRAFITUL

# SLUJBA
## SF.IERARH-MĂRTURISITOR
# MARCU EVGHENIKOS,
## MITROPOLITUL EFESULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 ΙΑΝΟΥΑΡΙΟΣ
# ΜΑΡΚΟΣ ΕΥΓΕΝΙΚΟΣ ΕΦΕΣΟΥ
# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Καλλίστου μοναχοῦ Ζωγραφίτου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, πρὸς ἀγῶνας ἀνδρικῶς, τοὺς ἀσκητικοὺς μάκαρ χαίρων ἐχώρησας, καὶ σαρκὸς καὶ αἵματος ὤφθης ἀνώτερος, καὶ Θεῷ μόνῳ ἥνωσας, σαὐτὸν θεῖε Πάτερ, διὰ καθαρότητος, καὶ ἐκτενοῦς προσευχῆς· τότε, θεοφόρος ἐγένου, καὶ προεχαλκεύθης ὡς ξίφος, ἵνα δυτικῶν συγκόψῃς φάλαγγας.

Ὅτε, ἐπινεύσει θεϊκῇ, εἰς τὸν τῆς Ἐφέσου προέβης θρόνον ᾀοίδιμε, καὶ Δύσιν κατέλαβες ὑπὲρ ἑνώσεως, καὶ προσθήκην διήλεγχες, τὴν ἐν τῷ Συμβόλῳ· τότε, οἱ ἀκούοντες σοφίαν λόγων σου, ταῦτα πρὸς ἀλλήλους ἐβόων ὄντως, διὰ στόματος τούτου, φθέγγεται τὸ Πνεῦμα τὸ πανάγιον.

Ὅτε, ἐπειθάρχησαν κακῶς, καὶ ψευδοῦς ἑνώσεως ὅρον πάντες ὑπέγραψαν, σὺ δὲ οὐκ ἐνέδωκας, Μάρκε θεόσοφε, ἀλλ' ἀντέσχες στεῤῥότατα, ὁ μόνος πρὸς πάντας· τότε ὁ μεγάλαυχος Πάπας Εὐγένιος, λύπῃ, ἐν μεγίστῃ καὶ στένων, καὶ ἐν ἀπογνώσει τελείᾳ, οὐδὲν ἐποιήσαμεν ἐβόησεν.

Ὅτε, ἐκοιμήθη ἱερῶς, τὸν ἁγίοις πρέποντα ὕμνον, Μάρκε ἀοίδιμε, τότε θεολόγων σε δῆμοι προέπεμψαν, ὡς αὐτῶν στεῤῥῶν πρόμαχον, καὶ πάντων Ἀγγέλων Τάγματα ἐκρότησαν ἐν τῇ ἀνόδῳ σου· τότε, καὶ Τριὰς ἡ ἁγία, ὑπὲρ ἧς στεῤῥῶς ἠγωνίσω, δόξης σε στεφάνοις ἐστεφάνωσεν.

*Δόξα. Ἦχος α΄.*

Χρεωστικῶς ἐκτελοῦμεν τὴν μνήμην σου, Μάρκε παναοίδιμε, τῆς ἀκραιφνοῦς τῶν πατέρων δόξης ὑπέρμαχε ἀπροσμάχητε, καὶ πάντων Ὀρθοδόξων τερπνὸν ἀγαλλίαμα· τῆς γὰρ θείας πίστεως, τοῖς παραχαράκταις Λατίνοις λυμαινομένης, τῇ κιβδηλεύσει τοῦ θειοτάτου Συμβόλου καὶ πάντων ἁπλῶς τῶν ἡμετέρων, τὴν κακοδοξίαν τῆς Δύσεως παραδεξαμένων, σὺ μόνος ὤφθης ἀνένδοτος, ὢ πρᾶγμα ξενήκουστον, ταῖς παρὰ τῶν ἐναντίων ἐπιφοραῖς· καὶ μόνος τὴν Παπικὴν τιάραν κατεπάτησας· διὸ σὲ προστάτην ἄμαχον τῆς Ὀρθοδοξίας μονώτατον γινώσκοντες, εὐεργέτην ἐπιγραφόμενοι, εἰς τοὺς αἰῶνας μελῳδικῶς σε γεραίρομεν.

*Καὶ νῦν... Θεοτοκίον.*

Παρθενικὴ πανήγυρις σήμερον, ἀδελφοί· σκιρτάτω ἡ κτίσις, χορευέτω ἡ ἀνθρωπότης· συνεκάλεσε γὰρ ἡμᾶς ἡ ἁγία Θεοτόκος, τὸ ἀμόλυντον κειμήλιον τῆς παρθενίας, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ Παράδεισος, τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν δύο φύσεων, ἡ πανήγυρις τοῦ σωτηρίου συναλλάγματος, ἡ

παστάς, ἐν ᾗ ὁ Λόγος ἐνυμφεύσατο τὴν σάρκα, ἡ ὄντως κούφη νεφέλη, ἡ τὸν ἐπὶ τῶν Χερουβεὶμ μετὰ σώματος βαστάσασα. Ταῖς αὐτῆς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἅρμα τῆς παντουργοῦ, χάριτος ἀνεδείχθης, καὶ οἶκος τῆς Τριάδος, τερπνός τε καὶ ὡραῖος, Πατρὸς Υἱοῦ καὶ Πνεύματος.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χάριτας προσφωνεῖ σοι, Μάρκε Ὀρθοδόξων, ἅπασα Ἐκκλησία, ὀρθοδοξεῖν πεισθεῖσα, ἐκ σοῦ ὀρθοδοξότατε.

Στ.: *Στόμα δικαίου μελετήσει σοφίαν...*

Μάχαιρα τμητική, καὶ πέλεκυς ἀμφήκης, ἐγένου θεῖε Μάρκε, φυτὰ Λατίνων πλάνης, ἐκτέμνων θείᾳ χάριτι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα ἀγαθή, ἅμα τῷ θείῳ Μάρκῳ, καὶ πᾶσι τοῖς Ἁγίοις, τὸν Σὸν Υἱὸν δυσώπει, σωθῆναι τοὺς ὑμνοῦντάς Σε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως*

Θείας πίστεως, ὁμολογία, μέγαν εὕρατο, ἡ Ἐκκλησία, ζηλωτὴν σε θεῖε Μάρκε πανεύφημε, ὑπερμαχοῦντα πατρώου φρονήματος, καὶ καθαιροῦντα τοῦ σκότους ὑψώματα· ὅθεν ἄφεσιν,

Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τοῖς σὲ γεραίρουσι.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὸν πυρίπνοον ῥήτορα, θεολόγον τὸν ἄριστον, στύλον τὸν ἀκράδαντον θείας πίστεως, Ὀρθοδοξίας μονώτατον, πρόμαχον καὶ φύλακα, ὁπλοθήκην τὴν καινήν, τῶν δογμάτων τοῦ Πνεύματος, δεῦτε σήμερον, τὸν ἀοίδιμον Μάρκον ἡ καθόλου, Ὀρθοδόξων Ἐκκλησία, μελῳδικῶς εὐφημήσωμεν.

Ἀστραπὴ ἡ τοῦ Πνεύματος, ἡ βροντὴ ἡ τῆς χάριτος, οὐρανὸς ὁ πάγχρυσος ἐξηγούμενος, Ὀρθοδοξίας τὰ δόγματα, φωστὴρ ὁ λαμπρότατος, Ἐκκλησίας τοῦ Χριστοῦ, Ἰωάννης ὁ δεύτερος, ἐπιστήθιος· οὗ καὶ θρόνον ἐκόσμει τῆς Ἐφέσου, παρὰ πάντων εὐφημείσθω, Μάρκος ὁ θεῖος ἐν ᾄσμασιν.

Δανιὴλ μὲν τὸ πρότερον, θεοσόφῳ τεχνάσματι, δράκοντα διέῤῥηξε Βαβυλώνιον· σὺ δὲ ὦ Μάρκε τοῖς λόγοις σου, τὸν Ῥώμης Εὐγένιον, Ἰταλίας τὸν δεινόν, καταβέβληκας δράκοντα, λυμαινόμενον, τῇ προσθήκῃ τὴν πίστιν τῶν Πατέρων, καὶ Χριστοῦ τὴν Ἐκκλησίαν, τῆς αὐτοῦ λύμης διέσωσας.

*Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν.*

Ποίοις, μελῳδικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν θεῖον Μάρκον, ῥήτορα ῥητόρων τὸν ἔνθεον, καὶ τὸν δημηγόρον τῆς χάριτος; Λιγυρὰν φωνὴν τῆς Ἐκκλησίας; Τὸ στόμα, τῆς εὐσεβείας τὸ θεσπέσιον; Τὰ χείλη, τὰ οὐρανόβροντα τῆς πίστεως; Γλῶσσαν τὴν ἔνδικον δόξης, ὀρθῆς τῶν Πατέρων; ὑφ’ ἧς ἄφωνοι καὶ πρηνεῖς, εἰς γῆν καταβλήθησαν, οἱ τῆς Δύσεως ὡς ἐμβρόντητοι.

Ποίοις, νικητικοῖς ἄνθεσι, στεφανώσωμεν τὸν θεῖον Μάρκον; Τῆς Ὀρθοδοξίας τὸν πρόμαχον; Καὶ κακοδοξίας ἀντίμαχον; Τὸν λαμπρὸν Χριστοῦ τρισαριστέα; Τὸν πύργον, ὀρθῶν δογμάτων τὸν ἀκλόνητον; Τὸν μέγαν, παγκρατιάρχην τὸν ἀήττητον; Τὸν ἀληθῆ μονομάχον, Ὀρθοδόξων πάντων; Τὸν δι’ οὗ ὀφρὺν δυτικῶν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις, ἱεραρχῶν στέμμασιν, ἀναδήσωμεν τὸν θεῖον Μάρκον, τῆς Ἐφέσου πρώην τὸν πρόεδρον; Νῦν δὲ οἰκουμένης διδάσκαλον, τοποτηρητὴν ἑώας θρόνων; Τὸν μέγαν, ἀρχιερέα τε καὶ ὅσιον; Προβάτων, τῶν

λογικὸν ποιμένα ἄριστον; Τὸν μιμητὴν τοῦ Δεσπότου; Τὴν ψυχὴν ἰδίαν ἐκτιθέντα ὑπὲρ αὐτῶν; καὶ πᾶσιν αἰτούμενον, ἱλασμὸν καὶ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ἀνέτειλεν ἐν τῷ στερεώματι τῆς Ἐκκλησίας, ἡ σεβάσμιος πανήγυρις τοῦ Ἱεράρχου, καὶ τῆς Ὀρθοδοξίας ἡμῶν προμάχου καὶ φύλακος. Δότε οὖν φιλέορτοι πάντες, τὰ χαριστήρια τούτῳ προσάγοντες, ἐν φωναῖς ἀλαλαγμοῦ, τὴν μνήμην αὐτοῦ ἑορτάσωμεν λέγοντες· χαίροις, Μάρκε ἀοίδιμε, τῆς ἑώας φωστὴρ ὁ λαμπρότατος, καὶ τῆς δύσεως πρηστὴρ φλογερώτατος· χαίροις, τῶν Ὀρθοδόξων ἡμῶν το μέγα ἐκνίκημα, καὶ τῶν κακοδόξων Λατίνων τὸ παντέλειον ἥττημα· χαίροις, ὁ ὑπὲρ τῆς δόξης τῶν Πατέρων, μυρίους πόνους καταβαλόμενος, καὶ πρὸς τὴν αἵρεσιν μέχρις αἵματος ἀνταγωνισάμενος· αἴτησαι πρεσβείαις σου ἀσαλεύτους ἡμᾶς ἐν τῇ πίστει τηρηθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Γενέσεως τὸ Ἀνάγνωσμα.*

Ἀκούσας Ἄβραμ, ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν· καὶ ἐπέπεσεν ἐπ᾽ αὐτοὺς τὴν νύκτα αὐτός, καὶ οἱ παῖδες αὐτοῦ μετ᾽ αὐτοῦ. Καὶ ἐπάταξεν αὐτούς, καὶ κατεδίωξεν αὐτοὺς ἕως Χοβάλ, ἢ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων· καὶ Λὼν τὸν ἀδελφιδοὺν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ καὶ τὰς γυναῖκας καὶ τὸν λαόν. Ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτοῦ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόαρ, καὶ τῶν βασιλέων τῶν μετ᾽ αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβῆ· τοῦτο ἦν πεδίον βασιλέων. Καὶ Μελχισεδὲκ βασιλεὺς Σαλήμ, ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου· καὶ εὐλόγησεν τὸν Ἄβραμ, καὶ εἶπεν· Εὐλογημένος εἶ Ἄβραμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τῆν γῆν· καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σου.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι΄.7)*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε

σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. ι'.32)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ

λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Λιτή. Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ πόλις ἡ Κωνσταντίνου, ἡ γόνον ἠνέγκασα, πάντας διενεγκότα Μάρκον τὸν ἀοίδιμον, ἑώας τὸν ἀήττητον ἀριστέα, ἄριστα καὶ λαμπρῶς, τὸν ὕψιστον Πάπαν καθελόντα, τῇ δυνάμει τοῦ Πνεύματος· ἀνάλαβε τῶν ᾀσμάτων, τὴν λιγυρόφθογγον κιννύραν, καὶ μέλπε τὸν αἰσχύναντα τῶν Λατίνων τὰ στίφη, περικροτοῦσα φαιδρῶς τούτου σήμερον, τὴν μνήμην τὴν ἔνδοξον.

*Ὁ αὐτός.*

Ὡς μέγα ὑπάρχει σου τὸ κατόρθωμα, ἁγιώτατε Μάρκε· ὡς θαυμαστή σου καὶ ξενήκουστος ἡ ἔνστασις· τῶν γὰρ ἡμετέρων, τῶν μὲν βίᾳ, τῶν δὲ πειθοῖ, ἁπλῶς ἁπαξαπάντων, τῇ τῆς πίστεως ὑπαχθέντων καινοτομίᾳ, σὺ μόνος καρτερόψυχε, ὑπὲρ τῆς πατρῴας δόξης μέχρι τέλους ἀντέσχες πρὸς ἅπαντας, Λατίνους τε φημὶ καὶ Λατινόφρονας· καὶ γὰρ τοὺς ὀφείλοντάς σοι συμμαχεῖν ὡς ἀδελφούς, πολεμίους ἔσχες, καὶ δεινῶς ἀντιβαίνοντας· διὰ τοῦτο ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομά σου, Ἱεράρχα πανθαύμαστε, ὡς μόνος σου τὴν τοῦ μονογενοῦς θεολογίαν ἀπαράτρωτον φυλάξαντος· διὸ καὶ νῦν παῤῥησίαν πρὸς Αὐτὸν κεκτημένος, δεόμεθα πρέσβευε, ὑπὲρ τοῦ φυλάττεσθαι ἡμᾶς ἀτρώτους, ἐκ παντοίας αἱρέσεως.

*Ἦχος δ΄.*

Τῶν Ὀρθοδόξων τὰ συστήματα, χρεωστικῶς σε μακαρίζει Μάρκε τῆς Ἐφέσου πρόεδρε, ὡς εὐσεβείας στύλον στερεόν, καὶ πρόμαχον ἀήττητον· σὺ γὰρ ἐν Φεῤῥάρᾳ καὶ Φλωρεντίᾳ, ἀναφανδρὸν ἐξήλεγξας τῶν κακοδόξων Ἰταλῶν, τὴν ἀντίχριστον καινοτομίαν τῆς θείας πίστεως, Πνευματομάχους τοῖς πᾶσι γνωρίσας, ὡς τὴν μοναρχίαν τῆς Θεότητος, εἰς διαρχίαν τέμνοντας, Γρηγόριον δὲ Βησσαρίωνα, ὡς Παπολάτρας ἀναφανέντας καὶ ἀλλοτριόφρονας, πανταχοῦ ὡς μιξοθήρας στηλιτεύσας, τὴν Ὀρθόδοξον πίστιν σαλευομένην ἐκράτυνας· ἣν καὶ ἡμᾶς

διαφυλάττειν μέχρι τέλους ἀπαράτρωτον, πρέσβευε Χριστῷ τῷ Θεῷ, ὡς ἔχων πρὸς Αὐτὸν παῤῥησίαν πολλήν, Πάτερ ἁγιώτατε.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἀδαμάντινε τὴν ψυχήν, Μάρκε παναοίδιμε, φωστὴρ διαυγέστατε, τοῦ γοητοῦ τῆς Ἐκκλησίας στερεώματος· στύλε ἀπερίστρεπτε τῆς εὐσεβείας, τίς σου κατ' ἀξίαν δυνηθήσεται παραστῆναι τοὺς ἡρωϊκοὺς ἀγῶνας, τούς τε πρὸς ἀλλοτρίους, ναὶ μὴν καὶ τοὺς οἰκείους τῆς πίστεως; Μεθ' ὧν ἀνδρικώτατα συμπλεκόμενος, τῇ δυνάμει τοῦ Πνεύματος, τὸ ὑπερθαύμαστον τῆς νίκης κατὰ πάντων ἀνέστησας τρόπαιον, ὡς ἡ ἐκ τοῦ Παπικοῦ στόματος προελθοῦσα ἀπόφασις, τρανῶς ἐμαρτύρησε λέγουσα· ἐποιήσαμεν οὐδὲν πάντων οὐδείς· ὡς νέον δὲ Ζωροβάβελ σὲ κηρύττομεν, ὅτι τὴν ἐν Ἰταλίᾳ πεπτωκυῖάν πως ὀρθόδοξον ἡμῶν πίστιν, οἴκαδε ἐπιστρέψαι ἀνώρθωσας, καὶ ἁπανταχοῦ ταῖς θεοσόφοις σου διδασκαλίαις συνέστησας· διὸ καὶ εἰς αἰῶνας εὐφημοῦμεν τὴν ἔνδοξον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ ἱερώτατος νοῦς, θεολογίας ὁ κανὼν ὁ εὐθύτατος, Τριάδος τῆς ὑπερθέου, ὁ συντηρήσας καλῶς, ἀσυγχύτου θείας ἰδιότητας· Πατρὸς μὲν τὸν αἴτιον, μόνον εἶναι θεότητος· αἰτία τὸν δέ, τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, θείοις δόγμασιν, θεολόγων ἑπόμενος, τὸ αἴτιον ὁ πόῤῥω βαλλόμενος, ὡς σύγχυσον ἐπεισάγων, καὶ σμῆνος ἄλλων αἱρέσεων, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, ὁ ἱερὸς γραμματεύς, τῆς ὑψηλῆς θεοσοφίας τῆς χάριτος· τὸ στόμα τῶν θεολόγων, τῆς Ἐκκλησίας Χριστοῦ, ὁ μέγιστος γίγας καὶ ἀήττητος· Ἐφέσου τὸ καύχημα, Ζωροβάβελ ὁ δεύτερος, ὁ ἀναστήσας, τὸ ὀρθόδοξον φρόνημα, ὃ κατέπεσεν, ἐν τῇ Δύσει τὸ πρότερον· ἄνθρωπε ἐπουράνιε, ἐπίγειε ἄγγελε, τῶν Ὀρθοδόξων ἡ δόξα, σκεῦος χαρίτων τοῦ Πνεύματος, Χριστὸν μὴ ἐλλίπῃς, ἱκετεύων ὑπὲρ πάντων, τῶν εὐφημούντων σε.

Στ.: *Στόμα δικαίου μελετήσει σοφίαν...*

Χαίροις, Ἱεραρχῶν καλλονή, τῶν ἀσκητῶν περιφανὲς σεμνολόγημα, ὁ πράξει καὶ θεωρίᾳ, κεκοσμημένος λαμπρῶς, ἀρετῶν τὸ θεῖον τὸ θησαύρισμα, πρᾳότητος σκήνωμα, προσευχῆς ἐργαστήριον, τῆς ἀεννάου, τῆς σοφίας κειμήλιον, ταπεινώσεως, τὸ τερπνὸν ἐνδιαίτημα· ἥλιε διακρίσεως, εἰρήνης τὸ τέμενος, διπλῆς ἀγάπης ὁ οἶκος, τῆς πρὸς

Θεὸν καὶ τὸν ἔγγιστα, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος δ΄.*

Δεῦτε, οἱ Ὀρθόδοξοι πάντες καὶ εὐσεβείας ζηλωταί, δεῦτε καὶ θεάσασθε τοῦ θείου Μάρκου, πάλην καὶ νίκην ξενήκουστον, τοὺς ὅρους ὑπερβαίνουσαν τῆς ἀνθρωπίνης δυνάμεως. Ὢ τοῦ θαύματος, εἷς ἀνὴρ μονώτατος, τὴν πανοπλίαν ἐνδεδυμένος τοῦ ὀρθοδόξου φρονήματος, ἐν τῇ καρδίᾳ ἵσταται τῆς Ἰταλίας, Ἰουλιανὸν καὶ Ἰωάννην, καὶ πάντας τοὺς ἐναντίους, ἀλλοτρίους τε καὶ τοὺς ἡμετέρους, γενναίως ἐλέγχων καὶ κατὰ κράτος νικῶν· ὄντως αὕτη ἐστὶν ἡ νίκη, ἡ τον κόσμον νικήσασα, ἡ ὀρθόδοξος πίστις ἡμῶν, καὶ ὁ ἐν αὐτῇ καὶ κατ' αὐτὴν πιστευόμενος, Χριστὸς ὁ Θεός, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*
*Ἀπολυτίκιον. Ἦχος γ’. Θείας πίστεως*

Θείας πίστεως, ὁμολογία, μέγαν εὕρατο, ἡ Ἐκκλησία, ζηλωτὴν σε θεῖε Μάρκε πανεύφημε, ὑπερμαχοῦντα πατρῴου φρονήματος, καὶ καθαιροῦντα τοῦ σκότους ὑψώματα· ὅθεν ἄφεσιν, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τοῖς σὲ γεραίρουσι.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Πυξίον μυστικόν, καὶ θεόγραφον πλάκα, καὶ βίβλον νοητήν, σὲ κηρύττομεν Μάρκε· ἐν αἷς ἀναγινώσκομεν, τὸ τῆς πίστεως σύμβολον, ἀπαράτρωτον, καὶ τῶν Λατίνων προσθήκην, ἀποβάλλομεν, τῶν Ὀρθοδόξων οἱ δῆμοι, οἱ σὲ μακαρίζοντες.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μαρία ἡ τὰ τρεῖς, ἀνηκούστους ἑνώσεις, ἑνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον, Θεὸν καὶ τὸν ἄνθρωπον, πίστιν τε καὶ πιστεύουσαν, τοῖς ξενίζουσι, τούτοις καρδίαν ἀνθρώπου· ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ Σου ἀγάπῃ, καὶ σῶσον πανύμνητε.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγησαν ὁμοῦ, πάντες οἱ Δύσεως σοφοί, καὶ ἑώας τὴν ἰσχύν, τῶν διαλέξεων τῶν σῶν, παρισταμένου ἐν μέσῳ τοῦ συνεδρίου, ὅπως ἐξ ἑτοίμου, πρὸς ἅπαντας ἐδίδου ἀποκρίσεις, θεόσοφε, ἐξ ὁπλοθήκης θείας τῶν Πατέρων, καὶ γραφικῶν παραστάσεων· δι' ὧν τὴν τούτων ἔξω σοφίαν, ἔδειξας μωρανθεῖσαν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀπειρόγαμε ἁγνή, πῶς συλλαμβάνεις ἐν γαστρί, τῶν ἁπάντων τὴν πνοήν, περικρατοῦντα ἐν χερσί; Φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου Σου· παναληθές ἐστι τοῦτο, ὦ ἄνθρωπε· καὶ παῦσε ἐρευνῶν τὸ δυσθεώρητον, ὕψος καὶ βάθος, μῆκος καὶ πλάτος, τῆς ἀποῤῥήτου λοχείας μου· νικᾷ γὰρ ὄντως, ἔννοιαν πᾶσαν ἀνθρώπων τε καὶ Ἀγγέλων.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἡ τοῦ Πνεύματος χάρις τοῦ παντουργοῦ, καθαρώτατον σκεῦος καὶ ἱερόν, εὑροῦσά σε θεόσοφε,

ἐξεχύθη σοῖς χείλεσι, καὶ ὄργανον εἰργάσατο, πληρῶσαι ἃ ὥρισε τὴν Ἐκκλησίαν πᾶσαν, θανεῖν κινδυνεύουσαν, τῇ κακοδοξίᾳ τῶν Λατίνων ζωῶσαι· διὸ οἱ Ὀρθόδοξοι, ὡς ζωὴν οἰκουμένης σε εὐφημοῦντες κραυγάζομεν· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἡλιόμορφον ἅρμα τὸ τοῦ Δαβίδ, πορφυρόστρωτος κλίνῃ τοῦ Σολομῶν, τόμος θεοχάρακτος, Ἡσαΐου καὶ ἔμψυχος, σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, Σὺ τοὺ Ἀμὼς ὑπάρχεις, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιήλ τε τὸ ὅρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, Προφητῶν περιήχημα, πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον Τόκον Σου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσατε πάντες οἱ κατοικοῦντες τῇ οἰκουμένῃ.*

Εὐαγγέλιον, ἱεραρχικόν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῆς ἐμπαθοῦς δυάδος ὑπεραρθείς, καὶ τῆς ὑλικῆς τετράδος ἤδη λυθείς, τῆς ἐν Μονάδι Τριάδος, καὶ ἐν Τριάδι Μονάδος, σὺ τριαδικὸς καὶ μοναδικός, ἐπόπτης γέγονας ἄμεσος, καὶ τῇ τῶν πρωτοτόκων συναυλιζόμενος πανηγύρει, τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων, πρέσβευε ὑπὲρ ἡμῶν, Πάτερ Ἁγιώτατε.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου εἰς στ΄, καὶ τοῦ Ἁγίου δύο εἰς η΄.

Ὁ α’ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Μάρκον γεραίρω, ὀρθοδοξίας στύλον.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Μονὰς τρισυπόστατε, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιον, Θεὲ ὑπερούσιε, χάριν μοι δώρησαι, τοῦ ὑμνῆσαί σου, τὸν θεῖον Ἱεράρχην, τὸν σὲ ἀληθέστατα, θεολογήσαντα.

Ἀνοίξας τὸ στόμα σου, μέσον Φεῤῥάρας θεόσοφε, ἐδείχθης τῆς πίστεως, γενναῖος πρόμαχος, τὴν ἀντίθεον, προσθήκην τῶν Λατίνων, ἐλέγξας σοφώτατα, λόγοις καὶ γραμμάσι.

Ῥήτωρ μεγαλόφωνος, σὺ γεγονὼς τῆς Θεότητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ἐθεολόγησας, ἐκπορεύεσθαι, ἐκ τοῦ Πατρὸς καὶ μόνου, Πατέρων ἑπόμενος, τοῖς θείοις δόγμασι.

*Θεοτοκίον.*

Κυρίως Σὲ Δέσποιναν, καὶ Θεοτόκον κηρύττομεν, Θεὸν γὰρ ἐγέννησας, κατὰ ἀλήθειαν, γνωριζόμενον,

μιᾷ ἐν ὑποστάσει, καὶ δύο ἐν φύσεσιν, ἁγνὴ πανάμωμε.

*Ἕτερος. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Τὸ μελουργὸν τοῦ Παρακλήτου ὄργανον, ἡ λιγυρὰ καὶ τερπνή, πάγχορδος κιθάρα, τῆς ἐνθέου γνώσεως, κιννύρα θεοκροτητε, ὀρθοδόξων δογμάτων, ἡ τοὺς πιστοὺς καταθέλγουσα, ἔμπνευσόν μοι λόγον ὑμνοῦντί σε.

Ὁ ποταμὸς θεολογίας σήμερον, ἐκ τῆς Εδὲμ πλημμυρεῖ, καὶ εἲς ἀρχὰς κόσμου, τέτταρας μερίζεται, εὐφραίνων τοῖς ὁρμήμασι, τὴν Χριστοῦ Ἐκκλησίαν· δεῦτε ἀντλήσατε ἄνθρωποι, τούτου τὰ ζωήῤῥυτα νάματα.

Ναὸς Θεοῦ ἡγιασμένος γέγονας, Μάρκε θεόσοφε, τὴν καρδίαν ἔχων, ὡς ἁγίαν τράπεζαν· τὸν νοῦν ὡς ἱερέα δέ, τὴν δὲ θέλησιν Πάτερ, ὡς ἱερεῖον ἀμώμητον, τοῦ πιστοῦ λαοῦ προθυόμενον.

*Θεοτοκίον.*

Εὐκλεεστάτη Βασιλὶς γεγέννησας, τὸν Βασιλέα Χριστόν, οὗ ἡ βασιλεία, βασιλεία πέφυκε, πάντων αἰώνων ἄχραντε, ἐκ πατρὸς βασιλέως, ὡς ἀϊδίου ἐκλάμψαντος, ἐν ταῖς σαῖς ἀγκάλαις βαστάσασα.

*ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Ὀρθαῖς ἀποδείξεων ἐφόδοι, Λατίνους ὡς Ἀκινδυνιστάς, γενναίως ἐστηλίτευσας, καὶ μὴ ταυτὸν

ἐδίδαξας, οὐσίαν καὶ ἐνέργειαν, ἐπὶ Θεοῦ εἶναι πάνσοφε.

Νοήσας καλῶς τοὺς θεολόγους, ὡς ἄριστος τούτων μαθητής, τὴν μὲν θείαν ἐνέργειαν, μετέχεσθαι τοῖς κτίσμασι, τὴν φύσιν δὲ ἀμέθεκτον, μένειν ὀρθῶς ἐδογμάτισας.

Γραφῶν παραστάσεσι γενναίαις, τὴν χάριν τοῦ Πνεύματος σοφέ, μερίζεσθαι ἀπέδειξας, καὶ Πνεῦμα ὀνομάζεσθαι, φύσιν δὲ καὶ ὑπόστασιν, τούτου μηδόλως μερίζεσθαι.

*Θεοτοκίον.*

Ἐγέννησας Κόρη ἀνωδύνως, ἀκόπως ἐβάστασας Ἁγνή, ἀσπόρως δὲ συνέλαβες, Θεὸν τὸν ὑπερούσιον· ὢ τέρατα παράδοξα, τίς νοῦς βροτῶν οὐκ ἐξίσταται;

*Ἕτερος. Οὐρανίας ἁψῖδος.*

Ὑφ’ Ὁσίων τιμᾶσθαι, σὲ θεμιτὸν Ὅσιε, ὑπὸ θεολόγων, ὡς Θεοῦ θεολόγον ἀκρότατον, διερμηνεύοντα, θεολογίας τὰς τούτων, θεολόγῳ γλώττῃ σου, καὶ νῷ θεόφρονι.

Γίγας ὥσπερ γενναῖος, δραμεῖν ὁδὸν ἔχαιρες, οὐρανοῦ ἀπ’ ἄκρου, οὐρανοῦ ἕως ἄκρου τῆς Δύσεως, ἐν παραστήματι, γιγαντιαίῳ τῶν λόγων, κρατύνων τῆς πίστεως τὰ θεῖα δόγματα.

Εὐγενείας τὸ ἄκρον, πεπλουτηκὼς ἄωτον, Εὐγενικὸς Μάρκος, φερωνύμως ἐκλήθης μακάριε, ὅπερ γεγένησαι, πρώην κληθεὶς καταλλήλως, ἢ ὅπερ προκέκλησαι, γεγονὼς ὕστερον.

*Θεοτοκίον.*

Νύμφη ὤφθης ὡραία, Θεοῦ Πατρὸς ἄχραντε, τοῦ Υἱοῦ δὲ Μήτηρ, καὶ θυγάτηρ τοῦ Πνεύματος πάγκαλος· κατοικητήριον, τῆς ἀρχιφώτου Τριάδος, ὅλης τῆς Θεότητος, ἔμψυχον τέμενος.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τοὺς λειμῶνας τῶν θείων Μάρκε γράφων, καὶ Πατέρων Ἁγίων τῶν συγγραφῶν, σοφῶς περιενόστησας, φιλεργὸς ὥσπερ μέλλισα, καὶ τῆς Ὀρθοδοξίας τὰ ἄνθη δρεψάμενος, ἓν μέλι ἐξ ἁπάντων, γλυκὺ κατεσκεύασας, καὶ παρέθου πᾶσι, τοῖς πιστοῖς θεοφόρε· διὸ οἱ γευόμενοι, γλυκασμοῦ ἐν τῷ φάρυγγι, τῆς διανοίας βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε Νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

*ᾨδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.*

Ῥώμην θείου Πνεύματος ἀναλαβών, Ῥώμης παλαιᾶς ἐπεστόμισας, τοὺς ἀπογόνους, βλασφημοῦντας εἰς τὸ φῶς, τὸ τῆς μεταορφώσεως, κατὰ Βαρλαὰμ τὸν παράφρονα.

Ἄκτιστον ἀΐδιον τοῦτο τὸ φῶς, δόξα φυσικὴ τῆς Θεότητος, ὄντως ὑπάρχει, κατὰ σὲ Μάρκε σοφέ, οὐ κτίσμα ὑστερόχρονον, κατὰ τὰ Λατίνων ληρήματα.

Εἶδον οἱ Ἀπόστολοι τὸ θεῖον φῶς, ὀφθαλμοῖς ὑλαίοις τὸ ἄϋλον, ἀλλ' ἐν δυνάμει, καὶ ῥοπῇ ὑπερφυεῖ, ἐνισχυθεῖσι πνεύματος, κατὰ τοὺς σοὺς λόγους θεόσοφε.

*Θεοτοκίον.*

Ῥῦπον ἀποκάθαρον ἐμῆς ψυχῆς, ὕλη τῶν παθῶν μου κατάφλεξον, ἄνθρακος θείου, ὡς πυράγρα μυστική, ἵνα νοΐ ἀΰλῳ, Σὲ ἀνυμνολογῶ τὴν πανύμνητον.

*Ἕτερος. Σύ μου ἰσχύς.*

Ἱεραρχῶν, τὸ θεῖον ὄντως ἐντρύφημα Ἐφεσίων, τὸ ἔξοχον αὔχημα, χριστιανῶν Ἀνατολικῶν, ὕψωμα γενναῖον, καὶ Δυτικῶν τὸ κατάπτωμα, καύχημα ἀληθείας, ἐξουθένημα πλάνης, τῆς Ἐφέσου ὁ Μάρκος ὑμνείσθω μοι.

Καταγελᾷ, πόλις δεινῶν ἑλεοπόλεων, πύργον σχοῦσα, προβλήτην στερέμνιον· ἡ δὲ Χριστοῦ Ἀνατολικὴ Ἐκκλησία, πύργον προβαλλομένη σὲ

ἄῤῥηκτον, στρουθίον ὥσπερ ἐμπαίξει, ἐκκρούουσα ἐνέδρας, καὶ δεινὰ τῶν Λατίων σοφίσματα.

Ὁ παμφαής, σήμερον ἔλαμψεν ἥλιος, ἐξ ἑώας Μάρκος ὁ πανάριστος, καὶ τοῦ δρυμοῦ ψαλμικῶς εἰπεῖν, συνήχθη θηρία, τῆς Δύσεως οἱ ἀπόγονοι, καὶ μάνδρας εἰς ἰδίας, ἐκοιτάσθη αὐτίκα, ἀστραπὴν τοῦ φωτὸς μὴ ἐνέγκαντα.

*Θεοτοκίον.*

Νέος Ἀδάμ, ἀντὶ τοῦ πάλαι γεγένηται, ὁ Υἱός Σου, Σὺ δὲ Μῆτερ ἄχραντε, ἀντὶ τῆς Εὔας, ὁ δὲ Σταυρός, ἀντὶ γνωστοῦ ξύλου, ὁ Γαβριὴλ ἀντὶ ὄφεως, ἀντὶ Ἐδὲμ ὁ πόλος, ἡ χαρὰ ἀντὶ λύπης, ὢ καλῶν θημωνία ἀντίστροφος.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ὡς στρατοπεδάρχην σε, προβάλλει ἱερώτατε, πᾶσαν ἡ ἑώα Ἐκκλησία, Πνεύματος ὅπλοις κατεδαφίζοντα, πύργον μοναρχίας Παπικῆς, τοῦ εἰς ὕψος ἄδικα, καὶ λαλοῦντος καὶ πράττοντος.

Ὅρους ἐδικαίωσας, κρατεῖς Μάρκε πάνσοφε, Πατέρων ἐνθέων θεσπιζόντων, τῇ τάξει μόνῃ τὸν Ῥώμης λέγεσθαι, πρῶτον τῶν λοιπῶν Πατριαρχῶν, ἀλλ’ οὐχὶ μονώτατον, Ἐκκλησίας δεσπόζοντα.

Ῥίζα διαστάσεως, Ἀνατολῆς καὶ Δύσεως, πάσης τε πηγὴ καινοτομίας, ἡ ἀρχὴ Πάπα ὄντως ἐγένετο, Συνόδοις ταῖς οἰκουμενικαῖς, καὶ Γραφαῖς μὴ εἴκουσα ἀντιχρίστῳ φρονήματι.

*Θεοτοκίον.*

Θεὸν μὲν τὸ βρέφος Σου, ὑπάρχει παναμώμητε, Σὺ δὲ πάλιν ἔμεινας παρθένος, μετὰ τὸν τόκον ἁγνὴ Θεόνυμφε· ποῖον ἄλλο μεῖζον ἐπὶ γῆς, τοῦ τοιούτου θεάματος, κόσμος ἅπας τεθέαται;

*Ἕτερος. Ἵνα τί με ἀπώσω.*

Μόνος μέσῳ Λατίων ὑπερασπιζόμενος, ἐγένου πάνσοφε, τῆς πατρίου δόξης καὶ ἀντὶ συμμαχούντων ἐκέκχρησο, φεῦ ὡς πολεμίοις, τοῖς ἡμετέροις ψευδαλέφοις· ὢ ψυχῆς στεῤῥοτέρας ἀδάμαντος.

Ἀπαθείας εἰς ὕψος, πρώην δι’ ἀσκήσεως Μάρκε ἀνέδραμες, καὶ σεαυτὸν καθάρας, θεωρίᾳ καὶ πράξει μακάριε, τῆς Θεολογίας, ὕστερον σάλπιγξ ἀνεδείχθης, διηχοῦσα τοῦ κόσμου τὰ πέρατα.

Ῥητορεύουσα γλῶσσα, ῥυθμῷ καὶ μεθόδοις τῆς τέχνης βρενθύουσα, οὐκ ἰσχύει Πάτερ, ἐγκωμίου σοὶ πλέξασθαι στέφανον, σὺ γὰρ μόνος ὤφθης, τῆς ἀκραιφνοῦς Πατέρων δόξης, καὶ ταμίας καὶ φύλαξ καὶ προμάχος.

*Θεοτοκίον.*

Κέντρον ὤφθης χαρίτων, σφαῖρά τε πολύαστρος θεοχαρίτωτε, τῶν ζωδίων κύκλος· δι’ οὗ μέσον διέβη ὁ ἥλιος, τῆς δικαιοσύνης, καὶ τῆς φρικτῆς οἰκονομίας, τὴν περίοδον πᾶσαν ἐπλήρωσε.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ὁ καταπέλτης ὁ κράτιστος, τῆς ἀζυμοθυσίας ἐπέφανε, Μάρκος ὁ πάνσοφος, τὸ τῆς Ἐφέσου καλλώπισμα· οἱ παῖδες τῶν Λατνων, πάντες κρυβήτωσαν.

Δεῖπνον Χριστὸς τὸ θειότατον, ἐνζύμου δι᾿ ἄρτου τετέλεκε· καὶ γὰρ καιρὸς οὐκ ἦν, τῆς τῶν αζύμων ἐνάρξεως, κατὰ τὰς ἀποδείξεις σου, Μάρκε πάνσοφε.

Ὀθνεῖον δόγμα καὶ ἔκφυλον, τῶν Ἐβιωνιτῶν καθιστόρηται· προσφέρειν ἄζυμα, ἀρχαῖον δὲ νομοθέτημα, χριστιανῶν ὑπάρχει προσφέρειν ἔνζυμα.

*Θεοτοκίον.*

Ξενίζει παναγία Δέσποινα, Ἀγγέλων καὶ ἀνθρώπων διάνοιαν, τὸ ξένον θαῦμά Σου· Σὺ γὰρ τὸν Κτίστην καὶ Κύριον, Ἀγγέλων καὶ ἀνθρώπων ξένως ἐγέννησας.

*Ἕτερος. Ἱλάσθητί μοι Σωτήρ.*

Ὁ στύλος μὲν τοῦ πυρός, τὸν Ἰσραὴλ καθοδήγησε, πρὸς Χαναναίαν ποτέ, σὺ δὲ καθοδήγησας, ταῖς θεολογίαις σου, τὸν λαὸν Κυρίου, πρὸς τὴν πίστιν τὴν ὀρθόδοξον.

Νέος Δαβὶδ ἀληθῶς, ἐδείχθης Μάρκε ἀοίδιμε, ὡς δεύτερον Γολιάθ, τὸν Ῥώμης Εὐγένιον, κτείνας τῇ σφενδόνῃ σου, ὅτι Θεοῦ ζῶντος, παρατάξεις προσεξύβρισε.

Ἀγάλλου ἡ τοῦ Χριστοῦ, νῦν Ἐκκλησία καὶ χόρευε, πλουτήσασα ἐκ Θεοῦ, Μάρκον τὸν σοφώτατον,

ἀήττηον πρόμαχον, τῆς Ὀρθοδοξίας· δι᾽ οὗ τρέπεις πολεμίους σου.

*Θεοτοκίον.*

Σὲ γενεαὶ γενεῶν, Θεόνυμφε μακαρίζομεν, ὡς τετοκυῖαν Θεόν, τὸν ὄντως μακάριον, καὶ τοὺς τὰ προστάγματα, Αὐτοῦ ἐκπληροῦντας, μακαρίους ἐργαζόμενον.

*Κοντάκιον. Ἡ Παρθένος σήμερον.*

Πανοπλίαν ἄμαχον, ἐνδεδυμένος θεόφρον, τὴν ὀφρὺν κατέσπασας, τῆς Δυτικῆς ἀνταρσίας, ὄργανον, τοῦ Παρακλήτου γεγενημένος, πρόμαχος, ὀρθοδοξίας προβεβλημένος· διὰ τοῦτό σοι βοῶμεν· χαίροις ὦ Μάρκε, ὀρθοδόξων καύχημα.

*Ὁ Οἶκος.*

Τίς ἀμοιβή; Τίς ἀνταπόδοσις ἀξία παρ᾽ ἡμῶν σοι προσενεχθήσεται, Μάρκε ἁγιώτατε; Σὺ γὰρ δι᾽ ἀσκήσεως προκαθαρθείς, θεολογίας γέγονας ὄργανον, καὶ ἱεράρχης χρηματίσας, ὑπὲρ τῆς πατρώας δόξης, πρὸς Δυτικοὺς ἠγωνίσω μέχρις αἵματος· τῶν τῇ κακοδοξίᾳ καταπεσόντων, ἀνάστασις γέγονας· τῶν παραπεσεῖν κινδυνευόντων, ἀσφάλεια· τῶν διεστώτων, ἕνωσις· καὶ πάντων ἁπλῶς τῶν Ἀνατολικῶν, ὀρθοδοξίας ἀνεδείχθης διδάσκαλος· διὰ τοῦτο κατὰ χρέος ἐκβοῶμέν σοι ἀπαύστως· χαίροις ὦ Μάρκε, ὀρθοδόξων καύχημα.

*Συναξάριον.*

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ἁγίου Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ, τοῦ τῆς Ὀρθοδοξίας τῶν Ἀνατολικῶν Γραικῶν μονομάχου καὶ ὑπερμάχου καὶ φύλακος.

*Κρατεῖ μὲν Ἄτλας μυθικῶς ὤμοις πόλον,*
*Κρατεῖ δ’ ἀληθῶς Μάρκος ὀρθοδοξίαν.*
*Τὸ μεῖναι ἐντὸς Ὀρθοδοξίας ὅρων,*
*Ἀνατολικοῖς κλῆρος, ἐκ Μάρκου μόνου.*
*Εἰ μὴ Σαβαώθ, σπέρμα Ὀρθοδοξίας,*
*ἔδωκε Μάρκον, οὐκ ἂν ηὐσεβήσαμεν.*
*Τῇ δ’ ἐννάΤῃ δεκάτῃ νόες ἔνθεν Μάρκον ἄειραν.*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Ἰδοὺ ἤστραψεν ἡ μνήμη τοῦ τρισμάκαρος, Μάρκου ὡς ἥλιος, Ἀνατολῆς τοὺς πιστούς, φωτίζουσα ἅπαντας, τὸ δὲ τῆς Δύσεως πῦρ καθάρσιον, ἀποσβεννῦσα τέλεον, καὶ μὴ ὂν ἀποδεικνῦσα.

Ἀκουέτωσαν Λατίνων οἱ ἀπόγονοι, τοῦ θείου ῥήτορος τῆς στεντορείας φωνῆς, ὅτι ἡ μετάνοια πλήρης ὑπάρχουσα, οὐκ εἰς βάσανον, πυρὸς τοὺς ἐκδημήσαντας, εἰς τρυφὴν δὲ παραπέμπει.

Σιγησάτωσαν Λατίνων τὰ παλίμφημα, στόματα σήμερον, ἀντιβροντρᾷ γὰρ αὐτοῖς, τὸν τρίτον εἰσάγουσα τόπον κακόδοξα, ἡ πανεύσημος, γλῶττα Μάρκου κηρύττουσα, ὀρθοδόξως δύο τόπους.

*Θεοτοκίον.*

Σωματώσασα, τὸν λόγον τὸν ἀσώματον, Κόρη Θεόνυμφε, τοὺς ἐνσωμάτους βροτούς, ἀσωμάτους ἔδειξας, Ἀγγέλους ψάλλοντας, ὑπερύμνητε· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Ἕτερος. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Μαργαρίτους τιμίους πολυτάλαντον ὄλβον καὶ ἀναφαίρετον, Χριστοῦ τῆς Ἐκκλησίας, τὰ θεολογικά σου, καταλείσεις συγγράμματα· δι᾽ ὧν πλουτίζεις ἡμῶν, τὰς πενομένας φρένας.

Ἄλλον Κύριλλον Πάτερ, ἄλλον Ἀθανάσιον ἢ Θεολόγον τε, νέον σὲ ἰωάννην, οἱ πολῖται ἐκάλουν, ὑποστρέψαντα βλέποντες, ὡς ἀριστέα λαμπρόν, καὶ μιμητὴν ἐκείνων.

Σὲ ἐμίσησαν μάκαρ ὡς ἐν πύλαις ἐλέγχοντα καθὼς γέγραπται, Λατῖνοί τε συμφώνως, μετὰ Λατινόφρονων, καὶ καλῶς μὴ πειθόμενον, ψευδεῖ ἑνώσει αὐτῶν, ὡς Θεοῦ χωριζούσῃ.

*Θεοτοκίον.*

Ἰατῆρα τῶν νόσων ἐλατῆρα τῶν πόνων δοτῆρα πάντων καλῶν, φωστῆρα τῶν ἐν σκότει, σωτῆρα τῶν ἐν πλάνη, ἡ γεννήσασα Δέσποινα, νοσοῦντά με ψυχικῶς, ἰάτρευσον καὶ σῶσον.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Τιμᾷ σου τὴν μνήμην Ἱεράρχα, Χριστοῦ ἡ Ἐκκλησία ἡ Ὀρθόδοξος, ὑπὲρ ἧς κατέβαλες, πόνους μέχρις

αἵματος, καὶ τὴν αὐτῆς ἐκράτυνας δόξαν θεόσοφε, Ἁγίων, τὴν ἀπόλαυσιν δείξας, μὴ τελείαν εἶναι, πρὸ κρίσεως τρισμάκαρ.

Ὕδατος ζωῆς καὶ ἀφθαρσίας, εἰς κόρον οἱ δίκαιοι πλησθήσονται, καὶ τῆς νίκης τέλειον, λείψονται τὸν στέφανον, μετὰ τὴν ἐξανάστασιν, οἱ δὲ ἀδόκιμοι, κομίσοντα, ποινὴ τὴν τελείαν, κατὰ τοὺς σοὺς λόγους, πάνσοφε ἱεράρχα.

Λῆρος ἀποδείκνυται σοῖς λόγοις, Λατίνων ἡ δόξα ἡ πρεσβεύουσα, πρὸ τῆς ἀναστάσεως, λαμβάνειν τὸ τέλειον, τῆς θείας ἀπολαύσεως, δικαίους ἅπαντας· τελείαν δέ, τὴν δίκην ἀδίκους· πῶς γὰρ ἔσται δίκη, πρὸ κρίσεως δικαίας;

*Θεοτοκίον.*

Ὁ πᾶσιν ἀνέκφαντος τοῖς οὖσιν, ἐκ Σοῦ ἐπεφάνη παναμώμητε, τοῖς βροτοῖς δι’ ἄφατον ἔλεον, ὡς ἄνθρωπος· ἐν τῇ ἐκφάνσει δ’ ἔμεινε, καὶ μετὰ ἔκφανσιν, ὡς ἦν πρὸ τῆς ἐκφάνσεως πάλιν, οἷα Θεὸς πέλων, ἀνέκφαντος τοῖς πᾶσι.

*Ἕτερος. Ἑπταπλασίως κάμινον.*

Στήλην σε ζῶσαν πίστεως, ὀρθοδόξου κηρύττομεν, ὅρον ἀκραιφνοῦς, θεολογίας πάνσοφε, κανόνα εὐθύτατον, τῶν θείων παραδόσεων, στάθμην ἀκριβῆ, τῆς ἀληθοῦς εὐσεβείας, ἐκκλίνουσαν ἐπίσης, περιττὸν καὶ ἐλλεῖπον, ὡς ἐκ τοῦ ἀντιθέτου, κακίας ὁμοτίμου.

Τῶν διεστώτων ἕνωσις, τῶν πεσόντων ἀνόρθωσις, καὶ τῶν κλονουμένων, στηριγμὸς γεγένησαι, ἁρμόσας

τοὺς ἅπαντας, διὰ Συνόδου Μάρκε σοφέ, ἐν τῷ ἀσφαλεῖ, ὀρθοδοξίας κανόνι, βοῶντας εὐχαρίστως, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐστενοχώρει Ἅγιε, τὴν πλατεῖαν καρδίαν σου, ἡ διηνεκὴς τῆς Ἐκκλησίας μέριμνα, ὑφ’ ἧς ἐκκαιόμενος, ὥσπερ ὁ μέγας Παῦλος ποτέ, πόθῳ ἐκζητεῖς, τὸν προστησόμενον ταύτης, μετὰ τὴν κοίμησίν σου, καὶ εὑρὼν ὡς ἐπόθεις, Γεννάδιον τὸν πάνυ, ἡδέως ἐκοιμήθης.

*Θεοτοκίον.*

Φῶς ἡ τὸ πρῶτον τέξασα, τὸ Ἀγγέλους τὰ δεύτερα, φῶτα ὑποστῆσαν, καὶ φῶς τὸ πρωτόγονον, δημιουργῆσαν, αὖθίς τε φωστῆρας δύο παραγαγόν, ἐπὶ πᾶσι δέ, ψυχὴν ὡς φῶς οὐσιῶσαν, καὶ φῶτα ὑποδεῖξαν, προστάγματα οἰκεῖα, φώτισον τοῦ νοός μου, τὸν ζόφον Θεοτόκε.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Νίκην κατ’ ἐχθρῶν, Λατίνων ἀνέτησας, κὰν τούτῳ Ἅγιε, καὶ τὰ τούτων πρόσωπα, αἰσχύνης πάσης ὄντως ἐπλήρωσας, δείξας ἐνθέοις λόγοις σου, ὡς οὐ τὰ ῥήματα, τοῦ Κυρίου, τὰ φάγετε πίετε, μεταβάλλουσι δῶρα τὰ τίμια.

Ἱερατικαῖς, εὐχαῖς ἁγιάζεται καὶ ἐπικλήσεσι, δῶρα τὰ προκείμενα, καθὼς σὺ Μάρκε λαμπρῶς ἀπέδειξας, ταῖς μυστικαῖς ἑπόμενος, ἱερουργίαις καλῶς,

Βασιλείου καὶ τοῦ Χρυσοῤῥήμονος, ὧν τὸν βίον καὶ λόγον ἐζήλωσας.

Δέχου τὴν ἡμῶν, ᾠδὴν ὡς χρυσόπλοκον, προσφερομένην σοι, στέφανον ἀήττητε, παγκρατιάρχα Χριστοῦ νικήσαντι, οὐχὶ τὸ ἔξω πένταθλον, τὸ δὲ ὀκτάεθλον, τῆς Λατίνων, δυσεβοῦς αἱρέσεως, μονομάχε στεῤῥὲ μυριόνικε.

*Θεοτοκίον.*

Ὕψος οὐρανοῦ, καὶ γῆς βάθος ἄπειρον, τίς ἑρμηνεύσειε; Κόρη ἀειπάρθενε; Οὕτω καὶ ὕψος τοῦ μυστηρίου Σου, πῶς νοῦς σμικρὸς δυνήσεται, καὶ περιερμηνεῦσαι, βάθος τε τὸ ἄπειρον, τῆς ἀσπόρου λοχείας σου πανάγιε.

*Ἕτερος. Ἐξέστη ἐπὶ τούτῳ.*

Ὡς ὄντως θαυμαστή σου παμβασιλεῦ, καὶ μεγίστη ἣν ἔδειξας πρόνοιαν, περὶ τὸν σόν, Μάρκον προαιρέσεως φονικῆς, Λατίνων λυτρωσάμενος, καὶ τῇ Ἐκκλησίᾳ σου ἀποδούς, ἀπήμαντον καὶ σῶον, ὀρθοτομοῦντα ταύτης, θείων δογμάτων τὴν ἀκρίβειαν.

Ἐνώπιον Τριάδος τῆς ἀρχικῆς, ὑπὲρ ἧς ἠγωνίσω θεόσοφε, περιεστηκώς, δόξης ἀπολαύεις θεοειδοῦς, θέσει Θεὸς γενόμενος, καὶ φωτὸς πληρούμενος τριλαμποῦς, λυθέντων τῶν ἐσόπτρων, σκιῶν τε παρηγμένων, τῆς ἀληθείας ταῖς ἐμφάσεσι.

Νικῶσαν τὰς αἱρέσεις νεανικῶς, Δυτικῶν ἀεννάως ἀπόφαινε, Μάρκε σοφέ, πᾶσαν Ἐκκλησίαν Ἀνατολῆς, ἥτις εὐχαριστοῦσά σοι, ψήφῳ διορίζει Συνοδικῇ,

τιμᾶσθαι ἐτησίως, τὴν μνήμην σου θεόφρον, Ὀρθοδοξίας ὡς προϊστορος.

*Θεοτοκίον.*

Ὑμνῶ Σε τὴν πανύμνητον ἀληθῶς, μεγαλύνων Σε τὴν πολυΰμνητον, ἣν ὑμνεῖ, ὕμνοις ἀσιγήτοις πᾶσα πνοή, τεκοῦσα ὑπερύμνητον, λόγον ὃν ὑμνοῦσιν ἐν οὐρανοῖς, χίλιαι χιλιάδες, μυρίαι μυριάδες, ἐν φλογεροῖς ἀΰλοις στόμασι.

*Ἐξαποστειλάριον. τοῖς μαθηταῖς συνέλθωμεν.*

Ὁ αἰσθητὸς μὲν ἥλιος, τὴς ἕω ἐξανίσχων, φωτίζει κόσμον ἅπαντα, φθάσαν δὲ Δύσιν ὅμως, ἰδίας κρύπτει ἀκτῖνας· σὺ δὲ ὦ θεῖε Μάρκε, καὶ ἐν τῇ ἕω ἔλαμψας, καὶ τὴν Δύσιν δὲ φθάσας, λόγοις σοφοῖς, ἐν αὐτῇ ἐξέλαμψας πολλῷ μᾶλλον· ὅθεν ὤφθης λαμπρότερος τοῦ ἡλίου θεόφρον.

*Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.*

Τὸν τῆς Ἐφέσου πρόεδρον, καὶ οἰκουμένης μέγιστον, διδάσκαλον καὶ σωτῆρα, ἀνευφημήσωμεν Μάρκον· στύλος γὰρ ἀπερίτρεπτος, ὀρθοδοξίας γέγονε, καὶ καταπέλτης κράτιστος, καὶ κεραυνὸς καταφλέγων, κακοδοξίας Λατίνων.

*Θεοτοκίον.*

Μαρία ὁ χρυσόπαστος, τῆς Θεότητος θάλαμος, εὐγένεια ἡ τοῦ Γένους, ἡ κοσμήσασα κόσμου, τὴν ἀκοσμίαν κόσμησον, τῆς ψυχῆς μου τὸ ἄκοσμον, τῆς ἐκ πόθου καὶ πίστεως, κοσμούσης σε ἐν εὐκόσμοις, ὑμνολογίαις Παρθένε.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τῆς ὑπερθέου Τριάδος νῦν ἐλαμπόμενος, ταις φωτουργοῖς ἀκτῖσιν, ὅλως φῶς χρηματίζεις, ὅλως ἐξαστράπτων ὅλος Θεός, κατὰ χάριν μακάριε, φῶς καθορὸν τὸν Πατέρα, φῶς τὸν Υἱόν, φῶς τὸ Πνεῦμα τὸ πανάγιον.

Μάρκε τοῦ λέοντος Μάρκου πλουτήσας ὄνομα, καὶ θρόνον αὐτοῦ τόπον, θεοφόρε ἐπέχων, ἴσον καὶ τὸ Πνεῦμα καὶ τὴν ἰσχύν, ἀκολούθως ἐπλούτησας· ὅθεν ὡς λέων βρυχήσας τοὺς δυσμενεῖς, Παπολάτρας διεσκόρπισας.

Τοῦ ἑωσφόρου τῆς Ῥώμης φυσιωθέντος δεινῶς, καὶ θρόνον αὐτοῦ θέντος, ὑπεράνω τῶν ἄστρων, σὺ μόνος ζηλώσας ὡς Μιχαήλ, ἀνεβόησας ἔνδοξε· στῶμεν καλῶς, στῶμεν πάντες ἐν ταῖς σεπταῖς, τῶν Πατέρων παραδόσεσι.

Τοῖς θεολόγοις συνήφθης Μάρκε ἀοίδιμε, ὡς Θεοῦ θεολόγος, τοῖς ὁσίοις δὲ πάλιν, ὡς ὅσιος παμμάκαρ τοῖς Ἀθληταῖς, ἀθλητὴς ὡς ἀναίμακτος· καὶ τὸν Θεὸν ἱκετεύεις ὑπὲρ ὑμῶν, τῶν ἐκ πόθου εὐφημούντων σε.

*Δόξα. Ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, καὶ χορεύσωμεν τῷ Πνεύματι, καὶ κροτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρειι τοῦ θεοφόρου Πατρός· βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τῶν δι᾽ ἀγώνων τῶν λογικῶν γενναίως, τοὺς γόνους τῆς Δύσεως, ἀντιλέγοντας δυσσεβῶς ἐν σοφίᾳ νικήσαντα εὐφημείτωσαν· ποιμένες καὶ διδάσκαλοι, τὸν τῆς

Ὀρθοδοξίας ἀήττητον προστάτην, συνδραμόντες μακαρίσωμεν· οἱ ὅσιοι τὸν ἀσκητήν, οἱ ἱερεῖς τὸν ποιμένα, οἱ ἐν συμφοραῖς τὸν σωτῆρα, οἱ φιλόσοφοι τὸν σοφόν, οἱ ἁμαρτάνοντες τὴν θερμὴν πρεσβείαν, οἱ ἀσθενοῦντες τὸν ἰατῆρα, οἱ θεολόγοι τὸν θεολόγον, ἅπαντες οἱ ὀρθόδοξοι, τὸν κοινὸν εὐεργέτην, κατὰ χρέος ἐγκωμιάζοντες ἀνακράζομεν· Μάρκε ἁγνώτατε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ῥῦσαι κολάσεως ταῖς ἱκεσίαις σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλύναρια.*

Χαίροις Ἐκκλησίας στύλος στεῤῥός, χαίροις οἰκουμένης ὁ ἀνέσπερος ἥλιος, χαίροις τῆς Ἐφέσου, ποιμὴν καὶ μέγα κλέος, Μάρκε θεοφόρε, θεολογίας πηγή.

Τὸν ἐξ εὐλαβείας βίον τὸν σόν, Μάρκε θεοφόρε, συγγραψάμενον σαῖς λιταῖς, ἀπέργασαι οἶκον τῆς Τριάδος, ἐμὲν λιτάζω, ὁ δοῦλός σου ἔνδοξε.